B V W

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0001-5

1 Γρηγορίου Ναζιανζηνοῦ τοῦ θεολόγου κατὰ Εὐνομιανῶν προδιάλεξις.
2 Gregorij Nysseni ad Eustathiam et Ambrosiam, et Basilissam, Epistola.
3 Πλάτωνος Νόμων Προοίμιον.
4 Λουκιανοῦ περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ: cum ep[isto]la Caseli ad Ernestu[m] ab Stenzoda
5 Caselij ἐπιτάφιος Ioann: Borcholdo perscriptus.
6 — — Ῥήτωρ, sive Magister dicendi.
7 Θεμιστίου περὶ φιλίας λόγος.
8 Caselij Νέος καὶ προδιδάσκαλος.
9. — — De Nobilitate libellus.
10. — — Παράδοξα duo in educatio[n]e principum.
11. — — Epistola de obitu Magni Zamoscij, ad Thoma[m] Zamosc: filium.
12. Alberti Clampij Mulus Arcadicus, et paucula aliquot alia poemata.
13. Laurent: Rhodomani Ἔπος Manibus Magni Zamoscij, cu[m] Epistolis aliquot Caseli.
14. Theodori Adami Panegyricus solenni introductae Acad: Iuliae die habitus.
15. Bartholomaej Coppen Oratio funebris, de obitu princip: Frid: IV. comit: Palatin:
16. Rudolphi Diepholdi Nonae April: in Natal: ejj princip: Frid: Vlder: duc: Brun:
17. Christophorj Heidmanni Oratio de Vero ac primo hominis bono.
18. Reditus in patriam ex peregrinatio[n]e aliquot annoru[m], Frid: Vlder: ducis Brunsuic:
19. Adami Luchtenij oratio in resignatio[n]e Magistratus scholast: ubi et de calumnia.
20. — — — — Programma de obitu Ioan: Carol: Caselij.
21. — — — — programma de obitu Henrici Iulij a Lippa.
22. — — — — programma de obitu Francis: Paricovij.
23. Tobiae Paurmeisterj epistola respons: ad litteras Ioan: Marsilij.
24. Caselij epistola ad nuptias Henrici Iulij Wittershaim:
25. Conradi Hornejj Epos, memoriae Polycarpi Lyserj consecrat:
26. — — — — Carmen ad nuptias Henningi von der Schulenburg.
27. — — — — Gratulatio, Adamo Luchtenio de Rectorata scripta.
28. — — — — Carmen ad Simonem Stuvium, in Ethic: disput:
29. Quorundam doctorum virorum carmina Cornelio Martinj scripta.
30. Conradi Rittershusii epistola ad Andrea[m] Paull: patriciu[m] Brunsuicens:
31. Caselii epistola ad Senatu[m] Göttingense[m].

Sequuntur et paucula aliae materiae quare titulos et auctores
huc ascrib: chartae angustia non passura erat.

Sb! a F

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0003-6

1. ?
2. Castelius OD
H OD V [illegible]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0004-2

4.

# ΛΟΥΚΙΑΝΟΥ

## περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ.



HELMAESTADII

Ex officina typographica Iacobi Lucij,

Anno cIↄ Iↄ XCIV.

Ex Apellis tabula, qua ille calumniam depinxit, occasionem nactus Lucianus, aureolo libello docet, non esse temerè credendum calumniæ. Digna sunt profectò hæc præcepta, quæ cùm cæteri omnes, tùm reges, & quorumcunq; partes præcipuæ sunt in repub. semper ante oculos, & in animis habeant: hi, vt aures rationis quasi cera ad blandissimæ Sirenis carmen in perpetuum obturent: illi, ne insidiatrici peruigili & astutissimæ facto dictouè fenestram vnquam aperiant: vtriq;, ne telum adeo venenatum, quo & ipsi dubio procul perituri sint, in quemquam torqueant.

*Thucydides.*

Διαβολὰς οὐ σῶφρον, οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι.

## ERNESTO AB HONRODA, *adolescenti nobilissimo* S. D. IOANNES CASELIVS.

ETiam quæ cum Apellis tabula legeres, meditari cæperam, cum à te mihi epistolam puer reddidit, pridem debitam. Cum enim videres, me non solùm sermonibus, sed etiam litteris familiarium, quas interdum flagitarem, valdè delectari; peruerecundè, te aliquid daturum, non negasti potius, quàm tuarum aliquam spem feceris. Vt verò ijs, & quàm mirificè me ceperis, ex hoc vide, quòd iterum legendas censui, & consideraui diligenter. Cum enim subitò percurrenti placerent, vt sæpè multa primo aspectu, quæ facilè postea contemnamus, eas relegi, quò certior essem, & ipse iudicium de iudicio meo feci. Fuit autem ita mihi abs te satisfactum, vt nihil omnium, quæ ab ista ætate exspectari possint, desiderem. Disertè enim exponis, quæ vis, & eleganter: quorum hoc, vt perpoliat orationem, si qui negligat, siue per ingenij imbecillitatem, siue per alia studia, aut oc-

cupationes, nihil dicam: alterum qui non agit, vt propriè & clarè sensa animi aperiat, quod in litteris primum est, parui facere, nec se parare ad rempub. videtur. Huc autem vnumquemq; ciuium respicere oportet: etsi ijs ignosco, qui humili loco nati, vix mediocri ingenio prediti, si vltra conditionem & vires ambitiosè nihil conantur: alteris succenseo, qui & magno ingenio & patriæ nati, non sedulò sibi omnia comparant, quibus cum ipsi magni beatiq; futuri sint, tum rempubl. seruare, & ornare, ac suo loco beare etiã possint. Contra officium faciunt, qui tui ordinis, in ijs studijs non sunt, quibus tu animum excolis. Quare illi maiore reprehensione, quàm tu tuiq; similes laude digni sitis. Etsi autẽ qui facit, quod debet, propriè & per se eximiam laudem mereri non videtur: tamen & ipsi singularem tribuendã, quam & alij tribuãt, ijs iudicabimus, qui non, vt plerisq; in more positum est, partes suas deserunt. Nec id iniquũ prorsus videatur, cum illos sine conuitio dimittamus, & tum demum vituperemus, vbi enorme aliquid aduersus leges admiserint. Tu verò, Erneste, non specie quadam siue opinione aliorum, sed re ipsa & iudicio intelligentium verã

& egregiam laudẽ aucuparis, quam & adeptum iam aliquis non falsò dixerit, ex tanto in virtute & litteris profectu, aut propter haud dubiam ſpem, pridem de te à nobis omnibus conceptam. Neq; profectò falles exſpectationem noſtram. Fieri namq; non poteſt, vt qui in ſpatio virtutis & doctrinæ tantum proceſſeris, vel aliò declines, vel ſubſiſtas. Nec enim variæ voluptates, quamuis blanda ſpecie, ab altera animi ſincera & ſolida te ad ſeſe pelliciant, nec vlla iam moleſtia in hoc curſu defatigare poterit: qui quodcunq; hic eſt difficile & aſperum, labore & conſtantia, pænè puer, optata felicitate ſuperaſti. Nunc enim, quæ plæriq; contingere non auſint, nullo negotio ipſe tractas, & in amœniſſimis muſarum hortis flores pulcerrimos, & ipſa fragrantia ſalutem pollicentes, cum voluptate decerpis: id vt diſſimiles, ego tamen te conuincam, & eius rei apud alios tibi teſtis ero locuples. Quo autem modo te gerere in tam nobili ſtudio indicas, is & mihi tantopere probatur, vt nec ipſe de alio cogitem, nec ab vllo meliorem inueniri poſſe, ſtatuam. Nam qui multa iubent omittere, & compendia pollicentur, eos rectè aſpernamur &

 ride-

ridemus. Neq; enim ij ab inscitia tantillum abducant, sed quod illo deterius est, ad opiniones & ex ijs perque easdem ad inanes de se persuasiones deducunt. Et illis autem & his, quid non boni perturbatur, corrumpitur, & euertitur in vita hominum? Nec tamen ego, quòd necessariorum à te nihil, neque deinceps negligi velim, idcirco minutissima quæque perscrutari iubeam. Hoc nimirum ijs relinquendum est, qui in talibus consenescere cogitant. Nec enim fieri posse existimem, vt qui in eiusmodi, quas dixi minutiis, plærisque minimè necessarijs, ineptè potius, quàm religiosè multum occupetur, animum ad maiora & res ipsas attollat. Quibus autem adminiculis carere non potueris, plæraque habes: neq; negliges, quæ reliqua sint. Cùm verò non solum scire aueas, quemadmodum probem, quæ hactenus agis, sed etiam à me tibi præscribi uelis, quid deinceps sequaris, neque nihil hic dicam, etsi minimè opus est. Per te enim intelligis, quibus litteris ciuem ad virtutem & remp. informari oporteat. nec vllas omnium te præterijsse præteriturumue putem. Primum enim Latinos poetas triuisti, & in manibus habes Home-

rum, omnium principem, quem magiſtrum virtutis & fontem ſapientiæ veteres rectè perhibebant: ex quo cunctis, quantũ quiſq; poſſet, haurire liceret, & ad vitæ priuatæ cultum, & ad rempubl., ſiue domi ſiue militiæ conſilijs opus eſſet: vnde & primus ille imperator, & plurimarum gentium domitor, Iliada viaticum artis ſuæ nominabat, nec vnum diem intermittebat, quin opem & conſilium inde peteret. In hoc vetuſtiſſimi & optimi ſcriptorum Græciæ ſtudio cum non vacilles, quaſi ad te confirmandum dicere aut videre aliquid, minimè opus eſt. Tamen libet mihi, & id tu libenter audias, tibi narrare, quod annis abhinc triginta, cum à puero diligens lector, & magnus admirator Homeri fuiſſem, & multa ſedulò conquiſiuiſſem, quæ ad eum intelligendum facerent, affirmare non dubitaui: nec idem hodiè minus ſentio: quod & ipſe audi quæſo: vel ſtatim, vel aliquando mihi aſſentieris. Veteres enim & Græci & Latini homines, non ſolum animum oblectabant lectione huius poetæ, qua tamen vix aliquid ſuauius aut mellitius inuenies, ſed etiam ex eo cum mores ipſi ſuos fingebant, ſiue corrigebant, tum libe-

Lectio Homeri.

ros educabant, & à prima pueritia erudiebant: ex eodem anſam de rebus abditis meditandi capiebant, quas ille omnes aut intellexiſſe, aut penetrare acie ingenij ſtuduiſſe videretur: ſi in re priuata egerent conſilij, ab eo petebant: ſi deliberandum eſſet de arduo ciuitatis negotio, quid ille ſentiret, quærebant: ſi ſtratagema vellet dux militiæ, hunc magiſtrum conſulebat: ſi item acies inſtruenda, ſi quacunq; in re alloquendi milites: ſi iocari iuuaret priuato, ſi litteras exarare, ſi quid aliud pangere: ſi in concione perorandum: nihil non horum, qui vti eo didiciſſet, ex eodem quiſq; ſibi ingenij theſauro depromebat. Nec enim dicam, vt ex hoc vberrimo flumine omnes poëtæ riuuos deduxerint, & abſq; eo nemo, ne mediocris quidem, in illo genere exſtiterit. Nihil enim notius, & in cæteris minimum. Quare deſcendi in eam ſententiam, & hodiè idem ſentio: ſi quis idoneum interpretem nactus ſit: inepti autem ſemper fuere plurimi, & à veteribus etiam merito ſuo exagitati, qui in vocabulis & fabulis perpetuùm hærerent, nec in res ipſas, quarum omnium eſſent imperiti, penetrarent: ſi quis, inquam, probum doctorem nactus

ſit;

ſit; eum poſſe, ex hoc vel ſolo ad omnes vitæ humanæ partes rectè colendas egregiè pleneq; informari. Nec id tamen eò dictum velim, quod nec alios adſciſcendos putem: etſi diuinum eſt poeſis, & mirè ψυχαγωγὸν, nihil vt ſit primæ potiſſimum ætati accommodatius. Hiſtoria ſanè grauior eſt, quam, quod & ipſum cæpiſti, porro quoq; coles. Hæc illine anteferenda ſit, non diſputo: aſſeuero, quod & ab alijs accepi, & res ipſa docet, eſſe regulam vitæ certiſſimam, & priuatim & publicè, & domi & militiæ: quam in omnibus tuto ſequi, non minus, quàm ipſam ſapientiam, poſſe videamur. Cæterarum verò reginam, licet vulgo inuiſam, paucis & ipſis familiaribus vix ſatis notam, tibi non minus, quàm mihi caram, matrem ſapientiæ, & præ omnibus & in perpetuùm veneraberis, vt facis, ſecurus iudicij multitudinis. Vulgus enim, cum in minimis parum videat, quid in re omnium prima videre iudicemus? Etiam de re peruulgatiſſima ſentit perperam. Audiunt enim cupidè & ſæpe attoniti ſcurram, ſiue Therſitæ ſimilem: virum præſtantem, qui cum conſilia, tum omnem dicendi vim ad ſalutem publicam referat, non

audiunt. Hanc tu quoq; primam politicæ famulam, etsi domina rerum putatur à pluribus, ita vt debes, colis: & eloquentiæ cultor, non audis effœminatos garriendi siue infantiæ magistros, sed alteros, qui cum sermonem non relinquant impolitum, nos quæ ad persuadendum faciunt, recte pleneque docent. Hæc cum agas adolescens omni diligentia; nihil habeo, de quo te præterea moneam: quod me facere tamen iubes. Aut enim nihil est, aut huiusmodi est, quod per te videas. Vnum enim non videas, quod quilibet te moneat, & quod omnes ferè solum monent, relictis cæteris, quamuis necessarijs, vel potioribus? Cum enim ciuem, tum vt dignitatem suam, & bona fortunæ aduersus improbos tueatur, tum vt à priuatis iniurias depellat, tum vt multas ciuitatis partes eadem ratione fulciat, leges reipub. non prorsus ignorare par sit; ei quoq; studio tantum temporis & operæ tribues, quantum prima tua iuuenta opus esse intelliges: in quo præsertim, præceptis principiis, homo doctus, deinceps, quousque debeas & velis, possis progredi. Hoc igitur, quod nemo intelligit, & cum ratione omnes vrgent, egone

dissua-

dissuadeam? Me tamen, qui ex quo iuuentuti fideliter consului, & non minus rectè quàm diligenter ostendi, tum quousque cui in legum disciplina versandum sit, tum quo viatico, comitatuq; rectâ quis ad diuam Ζηνὸς πάρεδρον, vt verè prędicatur, contendat; ob hoc meritum inscitia & malitia passim ad imperitos in aurem calumniantur. Inscitia in ijs est, qui è sua & vulgi opinione iudicium faciunt: in alijs malitia, qui aut quæ dicta non sunt, dicta autumant, aut quæ dicta, dicta esse negant. Si qui etiam hac in re refutent, quæ à me sæpè olim tradita declarataque sunt, non solum ipsis manus dabo, sed etiam vobis, melioris sententiæ amplectendæ, & sequendæ auctor esse debeam & velim. Rectè enim cum nostras tum aliorum opiniones, in quibus error deprehensus sit, repudiamus, & veritati nos totos dedimus: cuius præsertim tanta per se vis est, vt in omni re tamen ad extremum palmam obtineat, & tum quidquid est falsarum noxiarumque opinionum ad internecionem deleat, tum ipsam calumniam, hostium atrocissimam in triumpho ducat. Vides, vt ex tuis litteris, aliæ mihi natæ sint, quàm meditatus

Caselium calumniantur Malitia & Inscitia

Veritatis Vis

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0015-3

ditatus initio fueram. Cum enim te ad calumniæ picturam ducerem, volebam de ea & ipse aliquid verborum facere: ac potissimum ostendere, quemadmodum non solum optimum quemque adoriatur, sed ne sanctissimis quidem rebus ipsa parcat. Hoc igitur vel alio scripto persequar, vel coram familiaribus exponam. Vale. Helmæstadij in ac. Iul. Kal. Sextil.

CIƆ. IƆ. XCIV.

Incuriæ operarum ita occurrito.

*B. 1. v. 18.* ἄλλα. *f. 2. v. 6.* συμβουλῆς. *v. 7.* τὶς. *v. 10.* μηδ'. *v. 15.* τὶς. *v. 23.* τοιᾶδε. *v. 24.* ἔπι. *v. 29.* τῇ.

*B. 2. v. 11.* διέλωμεν. *v. 12. vocabulum desiderari videtur. v. 24.* καταμαθεῖν. *f. 2. v. 11.* ἂν.

*B. 3. v. 1.* ὑπόνοιαι. *v. 14.* ὧν. *v. 25.* προορώμενοι. *v. 30.* νίκης. *f. 2. v. 19.* ἐχλεύασε.

*B. 4. v. 2.* Πλατωνικὸν. *v. 4.* ἔπινέ τι. *v. 10.* μεγαλουργία. *v. 22.* ἀπολαῦσαι. *v. 29.* κυνηγετικώτί. ἐναργῆ. *f. 2. v. 2.* τιθεμένη. *v. 8.* ἀντιποιουμένου. *v. 21.* ὁ.

*C f. 2. v. 4.* κἀκείνη. *v. 18.* Αθηναίους διαβεβλημένον. *v. 25.* προειλημμένοις. *v. 28.* γελοῖον. *v. 29.* ἀνεῳγμένα.

*C. 2. v. 8.* κεκινημένον. *v. 10.* που.

Sunt fortè & alia non minus atq; hæc plæraq; leuicula.

# ΛΟΥΚΙΑΝΟΥ

## περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ.

Δεινόν γε ἡ ἄγνοια, καὶ πολλῶν κακῶν ἀνθρώποις αἰτία, ὥσπερ ἀχλύν τινα καταχέουσα τῶν πραγμάτων, καὶ τὴν ἀλήθειαν ἀμαυροῦσα, καὶ τὸν ἑκάστου βίον ἐπισκιάζουσα. ἐν σκότῳ γοῦν πλανωμένοις πάντες ἐοίκαμεν· ω μᾶλλον δὲ τυφλοῖς ὅμοια πεπόνθαμεν, τῷ μὲν, προσπταίοντες ἀλόγως, τὸ δὲ, ὑπερβαίνοντες, οὐδὲν δέον· καὶ τὸ μὲν πλησίον, καὶ παρὰ πόδας, οὐχ ὁρῶντες· τὸ δὲ πόρρω, καὶ πάμπολυ διεστηκὸς, ὡς ἐνοχλοῦν δεδιότες· καὶ ὅλως, ἐφ᾽ ἑκάστου τῶν πραττομένων οὐ διαλείπομεν τὰ πολλὰ ὀλισθαίνοντες. τοιγάρτοι μυρίας ἤδη τοῖς τραγῳδοδιδασκάλοις ἀφορμὰς εἰς τὰ δράματα τὸ τοιοῦτον παρέσχηται, τοὺς Λαβδακίδας καὶ τοὺς Πελοπίδας, καὶ τὰ τούτοις παραπλήσια. σχεδὸν γὰρ τὰ πλεῖστα τῶν ἐν τῇ σκηνῇ ἀναβαινόντων κακῶν, εὕροι τις ἂν ὑπὸ τῆς ἀγνοίας, καθάπερ ὑπὸ τραγικοῦ δαίμονός τινος κεχορηγημένα. λέγω δὲ καὶ ἐς τὰ ἄλλα μὲν ἀποβλέπων, μάλιστα δὲ εἰς τὰς οὐκ ἀληθεῖς κατὰ τῶν συνήθων καὶ φίλων διαβολάς· ὑφ᾽ ὧν ἤδη καὶ οἶκοι ἀνάστατοι γεγόνασι, καὶ πόλεις ἄρδην ἀπολώλασι, πατέρες τε κατὰ παίδων ἐξεμάνησαν, καὶ ἀδελφοὶ κατὰ τῶν ὁμογενῶν, καὶ παῖδες κατὰ τῶν γειναμένων, καὶ ἐρασταὶ κατὰ τῶν ἐρωμένων· πολλαὶ δὲ καὶ φιλίαι συνεκόπησαν, καὶ οἶκοι συνεχύθησαν ὑπὸ τῆς κατὰ τὰς διαβολὰς πιθανότητος. ἵνα οὖν ὡς ἥκιστα περιπίπτωμεν αὐταῖς, ὑποδεῖξαι βούλομαι τῷ λόγῳ, καθάπερ ἐπί τινος γραφῆς, ὁποῖόν τί ἐστιν ἡ διαβολὴ, καὶ πόθεν ἄρχεται, καὶ ὁποῖα ἐξεργάζεται· μᾶλλον δὲ Ἀπελλῆς ὁ Ἐφέσιος πάλαι ταύτην προὔλαβε τὴν εἰκόνα· καὶ γὰρ αὖ καὶ οὗτος διαβληθεὶς πρὸς Πτολεμαῖον ὡς μετεσχηκὼς Θεοδότᾳ τῆς συνωμοσίας ἐν Τύρῳ. ὁ δὲ Ἀπελλῆς, οὐχ ἑωράκει ποτὲ τὴν Τύρον, οὐδὲ τὸν Θεοδόταν, ὅστις ἦν ἐγίγνωσκεν, ἢ καθόσον ἤκουε Πτολεμαίου τινὰ ὕπαρχον εἶναι, τὰ κατὰ τὴν Φοινίκην ἐπιτετραμμένον· ἀλλ᾽ ὅμως τῶν ἀντιτέχνων τις, Ἀντίφιλος τοὔνομα,

νεμα, ὑπὸ φθόνου τῆς παρὰ βασιλεῖ τιμῆς, καὶ τῆς κατὰ τὴν τέχνην ζη-
λοτυπίας, κατεῖπεν αὐτοῦ πρὸς τὸν Πτολεμαῖον, ὡς εἴη κεκοινωνη-
κὼς τῶν ὅλων, καὶ ὡς θεάσαιτό τις αὐτὸν ἐν Φοινίκῃ συνεστιώμενον Θεο-
δότᾳ, καὶ παρ' ὅλον τὸ δεῖπνον πρὸς τὸ οὖς αὐτῷ κοινολογούμενον· καὶ
τέλος, ἀπέφηνε τὴν Τύρου ἀπόστασιν, καὶ τὴν Πηλουσίου κατάλη-
ψιν, ἐκ τῆς Ἀπελλοῦ συμβουλῆς γεγονέναι. ὁ δὲ Πτολεμαῖος, ὡς ἂν
καὶ τἆλλα οὐ πάνυ φρενήρης τις ὤν, ἀλλ' ἐν κολακείᾳ δεσποτι-
κῇ τεθραμμένος, οὕτως ἐξεκαύθη, καὶ συνεταράχθη πρὸς τῆς πα-
ραδόξου ταύτης διαβολῆς, ὥστε μηδὲν τῶν εἰκότων λογισάμενος,
μηδ' ὅτι ἀντίτεχνος ἦν ὁ διαβάλλων, μηδ' ὅτι μικρότερος, ἢ κα-
τὰ τοιαύτην προδοσίαν ζωγράφος, καὶ ταῦτα, εὖ πεπονθὼς ὑπ' αὐτοῦ,
καὶ παρ' ὁντινοῦν τῶν ὁμοτέχνων τετιμημένος, ἀλλ' οὐδὲ τὸ παράπαν,
ὡς εἰ ἐξέπλευσεν Ἀπελλῆς εἰς Τύρον ἐξετάσας, εὐθὺς ἔαδε μηνύειν, καὶ
βοῆς ἐνεπίμπλα τὰ βασίλεια, τὸν ἀχάριστον κεκραγὼς, καὶ τὸν ἐπί-
βουλον, καὶ συνωμότην· καὶ εἴγε μὴ τῶν συνειλημμένων τις ἀγανακτήσας
ἐπὶ τῇ τοῦ Ἀντιφίλου ἀναισχυντίᾳ, καὶ τὸν ἄθλιον Ἀπελλῆν κατελεήσας,
ἔφη μηδενὸς αὐτοῖς κεκοινωνηκέναι τὸν ἄνθρωπον, ἀπετέτμητ' ἂν τὴν
κεφαλὴν, καὶ παραπολελαύκει τῶν ἐν Τύρῳ κακῶν, οὐδὲν αὐτὸς αἴ-
τιος γεγονώς. ὁ μὲν οὖν Πτολεμαῖος, οὕτω λέγεται μεταγνῶναι ἐπὶ
τοῖς γεγονόσιν, ὥστε τὸν μὲν Ἀπελλῆν, ἑκατὸν ταλάντοις ἐδωρήσατο· τὸν
δὲ Ἀντίφιλον, δουλεύειν αὐτῷ παραδέδωκεν. ὁ δὲ Ἀπελλῆς, ὧν πα-
ρεκινδύνευσε μεμνημένος, τοιᾷδή τινι εἰκόνι ἠμύνατο τὴν διαβολήν.
Ἐν δεξιᾷ τις ἀνὴρ κάθηται, τὰ ὦτα παμμεγέθη ἔχων, μικροῦ δεῖν
τοῖς τοῦ Μίδου προσεοικότα, τὴν χεῖρα προτείνων, πόρρωθεν ἔτι προ-
σιούσῃ Διαβολῇ. περὶ δὲ αὐτὸν ἑστᾶσι δύο γυναῖκες, Ἄγνοιά μοι δοκεῖ,
καὶ Ὑπόληψις· ἑτέρωθεν δὲ προσέρχεται ἡ Διαβολὴ, γύναιον ἐς ὑπερ-
βολὴν πάγκαλον, ὑπόθερμον δὲ, καὶ παρακεκινημένον, οἷον δὴ τὴν
λύτταν, καὶ τὴν ὀργὴν δεικνύουσα· τῇ μὲν ἀριστερᾷ δᾷδα καιομένην ἔ-
χουσα· τῇ ἑτέρᾳ δὲ, νεανίαν τινὰ τῶν τριχῶν σύρουσα, τὰς χεῖρας ὀ-
ρέγοντα εἰς τὸν οὐρανὸν, καὶ μαρτυρόμενον τοὺς θεούς. ἡγεῖται δὲ ἀνὴρ
ὠχρὸς

ῥᾳδίως πιστεύειν τῇ διαβολῇ.

ὠχρὸς καὶ ἄμορφος, ὀξὺ δεδορκὼς, καὶ ἐοικὼς τοῖς ἐκ νόσου μακρᾶς κατεσκληκόσι. τοῦτον γοῦν εἶναι τὸν Φθόνον ἄν τις εἰκάσειε· καὶ μὴν καὶ ἄλλαι τινὲς δύο παρομαρτοῦσι, προτρέπουσαι, καὶ περιστέλλουσαι, καὶ κατακοσμοῦσαι τὴν Διαβολήν. ὡς δέ μοι καὶ ταύτας ἐμήνυσεν ὁ περιηγητὴς τῆς εἰκόνος, ἡ μὲν Ἐπιβουλή τις ἦν, ἡ δὲ Ἀπάτη· κατόπιν δὲ ἠκολούθει πάνυ πενθικῶς τις ἐσκευασμένη, μελανείμων, καὶ κατεσπαραγμένη· Μετάνοια δὲ καὶ αὕτη ἐλέγετο· ἐπεστρέφετο γοῦν ἐς τοὐπίσω δακρύουσα, καὶ μετ' αἰδοῦς πάνυ τὴν Ἀλήθειαν προσιοῦσαν ὑπέβλεπεν. οὕτω μὲν οὖν Ἀπελλῆς τὸν ἑαυτοῦ κίνδυνον ἐπὶ τῆς γραφῆς ἐμιμήσατο. φέρε δὲ καὶ ἡμεῖς εἰ δοκεῖ, κατὰ τὴν τοῦ Ἐφεσίου ζωγράφου τέχνην, διέλθωμεν τὰ προσόντα τῇ διαβολῇ, πρότερόν γε ὅρῳ τινὶ περιγράψαντες αὐτήν. οὕτω γὰρ ἂν ἡμῖν ἡ εἰκὼν γενήσεται. ἔστι τοίνυν διαβολὴ, κατηγορία τις, ἐξ ἐρημίας γιγνομένη, τὸν κατηγορούμενον λεληθυῖα, ἐκ τοῦ μονομεροῦς ἀναντιλέκτως πεπιστευμένη. τοιαύτη μὲν ἡ ὑπόθεσις τοῦ λόγου. τριῶν δὲ ὄντων προσώπων, καθάπερ ἐν ταῖς κωμῳδίαις, τοῦ διαβάλλοντος, καὶ τοῦ διαβαλλομένου, καὶ τοῦ πρὸς ὃν ἡ διαβολὴ γίγνεται, καθ' ἕκαστον αὐτῶν ἐπισκοπήσωμεν, οἷα εἰκὸς εἶναι τὰ γιγνόμενα. πρῶτον μὲν δὴ εἰ δοκεῖ, παραγάγωμεν τὸν πρωταγωνιστὴν τοῦ δράματος, λέγω δὲ τὸν ποιητὴν τῆς διαβολῆς. οὗτος δὲ δὴ, ὡς μὲν οὐκ ἀγαθὸς ἄνθρωπός ἐστι, πᾶσιν οἶμαι γνώριμον. οὐδεὶς γὰρ ἂν ἀγαθὸς, κακῶν αἴτιος γένοιτο τῷ πλησίον· ἀλλ' ἔστιν ἀγαθῶν ἀνδρῶν ἀφ' ὧν εὖ ποιοῦσιν αὐτοὶ τοὺς φίλους, οὐκ ἀφ' ὧν τοὺς ἄλλους ἀδικοῦντας αἰτιῶνται, καὶ μισεῖσθαι παρασκευάζουσι, εὐδοκιμεῖν, δόξαν εὐνοίας προσλαβόντας. ἔπειτα δὲ ὡς ἄδικος ὁ τοιοῦτος, καὶ παράνομός ἐστι, καὶ ἀσεβὴς, καὶ τοῖς χρωμένοις ἐπιζήμιος, ῥᾴδιον καταμαθεῖν. τίς γὰρ οὐκ ἂν ὁμολογήσειε τὴν μὲν ἰσότητα ἐν ἅπαντι, καὶ τὸ μηδὲν πλέον δικαιοσύνης ἔργα εἶναι· τὸ δὲ ἄνισόν τε, καὶ πλεονεκτικὸν, ἀδικίας; ὁ δὲ τῇ διαβολῇ κατὰ τῶν ἀπόντων λάθρα χρώμενος, πῶς οὐ πλεονέκτης ἐστὶν, ὅλον τὸν ἀκροατὴν σφετεριζόμενος, καὶ προκαταλαμβάνων αὐτοῦ τὰ ὦτα, καὶ ἀποφράττων, καὶ τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων αὐτὰ, ὑπὸ τῆς

διαβολῆς περιεμπεπλησμένα; ἐσχάτης ἀδικίας τὸ τοιοῦτον, ὡς φαῖεν ἂν καὶ οἱ ἄριστοι τῶν νομοθετῶν, οἷον ὁ Σόλων, καὶ ὁ Δράκων, ἔνορκον ποιησάμενοι τοῖς δικασταῖς τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, καὶ τὴν εὔνοιαν ἴσην τοῖς κρινομένοις ἀπονέμειν, ἄχρις ἂν ὁ τοῦ δευτέρου λόγος παρατεθεὶς, θατέρου χείρων ἢ ἀμείνων φανῇ. πρὶν δέ γε ἀντεξετάσαι τὴν ἀπολογίαν τῇ κατηγορίᾳ, παντελῶς ἀσεβῆ, καὶ ἀνόσιον ἡγήσαντο ἔσεσθαι τὴν κρίσιν. καὶ γὰρ ἂν καὶ αὐτοὺς ἀγανακτῆσαι τοὺς θεοὺς εἴποιμεν, εἰ τῷ μὲν κατηγόρῳ μετ' ἀδείας ἃ θέλει λέγειν ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγορουμένῳ τὰ ὦτα, ἢ τῷ στόματι σιωπῶντες, καταψηφιζοίμεθα τῷ προτέρῳ λόγῳ κεχειρωμένοι. ὥστε οὐ κατὰ τὸ δίκαιον, καὶ τὸ νόμιμον, καὶ τὸν ὅρκον τὸν δικαστικὸν, φαίη τις ἂν γίγνεσθαι τὰς διαβολάς. εἰ δέ τῳ μὴ ἀξιόπιστοι δοκοῦσι οἱ νομοθέται, παραινοῦντες οὕτω δικαίας καὶ ἀμερεῖς ποιεῖσθαι τὰς κρίσεις, ποιητήν μοι δοκῶ τὸν ἄριστον ἐπαγαγεῖν τῷ λόγῳ, εὖ μάλα περὶ τούτων ἀποφηνάμενον, μᾶλλον δὲ νομοθετήσαντα. φησὶ δὲ

μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

ἠπίστατο γὰρ οἶμαι καὶ οὗτος, ὡς πολλῶν ὄντων ἐν τῷ βίῳ ἀδικημάτων, οὐδὲν ἄν τις εὕροι χεῖρον, οὐδὲ ἀδικώτερον, ἢ ἀκρίτους τινὰς, καὶ ἀμοίρους λόγων καταδεδικάσθαι, ὅπερ ἐξ ἅπαντος ὁ διαβάλλων ἐπιχειρεῖ ποιεῖν, ἄκριτον ὑπάγων τὸν διαβαλλόμενον τῇ τοῦ ἀκούοντος ὀργῇ, καὶ τὴν ἀπολογίαν τῷ λαθραίῳ τῆς κατηγορίας παραιρούμενος. καὶ γὰρ ἀπαρρησίαστος, καὶ δειλὸς ἅπας ὁ τοιοῦτος ἄνθρωπος, οὐδὲν εἰς τὸ ἐμφανὲς ἄγων, ἀλλ' ὥσπερ οἱ λοχῶντες, ἐξ ἀφανοῦς ποθεν τοξεύων, ὡς μηδὲ ἀντιτάξασθαι δυνατὸν εἶναι, μηδὲ ἀνταγωνίσασθαι, ἀλλ' ἐν ἀπειρίᾳ, καὶ ἀγνοίᾳ τοῦ πολέμου διαφθείρεσθαι· ὃ μέγιστόν ἐστι σημεῖον, τοῦ μηδὲν ὑγιὲς τοὺς διαβάλλοντας λέγειν· ἐπεὶ εἴ τις γε τἀληθῆ κατηγοροῦντι ἑαυτῷ συνεπίσταται, οὗτος οἶμαι καὶ εἰς τὸ φανερὸν διελέγχει, καὶ διευθύνει, καὶ ἀντεξετάζει τῷ λόγῳ· ὥσπερ οὐδεὶς ἂν ἐκ τοῦ προφανοῦς νικᾶν δυνάμενος, ἐνέδρᾳ ποτὲ, καὶ ἀπάτῃ χρήσαιτο κατὰ τῶν πολεμίων. ἴδοι δ' ἄν τις τοὺς τοιούτους μάλιστα ἔν τε βασιλέων αὐλαῖς, καὶ περὶ τὰς τῶν ἀρχόντων, καὶ δυναστευόντων φιλίας εὐδοκιμοῦντας. ἔνθα πολὺς μὲν

ῥᾳδίως πιστεύειν τῇ διαβολῇ.

λὺς μὲν ὁ φθόνος, μυρίαι δὲ ὑπόνοιαι, πάμπολλαι δὲ κολακειῶν
καὶ διαβολῶν ὑποθέσεις. ὅπου γὰρ ἀεὶ μείζους ἐλπίδες, ἐνταῦθα καὶ οἱ
φθόνοι χαλεπώτεροι, καὶ τὰ μίση ἐπισφαλέστερα, καὶ ζηλοτυπίαι
κακοτεχνέστεραι. πάντες οὖν ἀλλήλους ὀξὺ δεδόρκασι, καὶ ὥσπερ οἱ μο-
νομαχοῦντες ἐπιτηροῦσιν εἴ πού τι γυμνωθὲν μέρος θεάσαιντο τοῦ σώμα-
τος. καὶ πρῶτος αὐτὸς ἕκαστος εἶναι βουλόμενος, παρωθεῖται, καὶ παραγ-
κωνίζεται τὸν πλησίον, καὶ τὸν πρὸ αὐτοῦ, εἰ δύναιτο, ὑποσπᾷ καὶ
ὑποσκελίζει. ἔνθα ὁ μὲν χρηστὸς ἀτεχνῶς εὐθὺς ἀνατέτραπται, καὶ πα-
ρασέσυρται, καὶ τὸ τελευταῖον ἀτίμως ἐξέωσται· ὁ δὲ κολακευτικώτερος,
καὶ πρὸς τὰς τοιαύτας κακοηθείας πιθανώτερος εὐδοκιμεῖ, καὶ ὅλως,
φθάσας κρατεῖ. τὰ γὰρ τοῦ Ὁμήρου πάνυ ἐπαληθεύουσι, ὅτι

ξυνὸς ἐνυάλιος, καὶ τὸν κτανέοντα κατέκτα.

τοιγαροῦν ὡς οὐ περὶ μικρῶν τοῦ ἀγῶνος ὄντος ποικίλας κατ᾿ ἀλλή-
λων ὁδοὺς ἐπινοοῦσι, ὧν ταχίστη καὶ ἐπισφαλεστάτη ἐστὶν ἡ τῆς διαβο-
λῆς, τὴν μὲν ἀρχὴν, ἀπὸ φθόνου ἢ μισευέλπιδος λαμβάνουσα, οἰκτρό-
τερα δὲ, καὶ τραγικὰ ἐπάγουσα τὰ τέλη, καὶ πολλῶν συμφορῶν ἀνά-
πλεα. οὐ μέν τοι μικρὸν, οὐδὲ ἁπλοῦν ἐστι τοῦτ᾿, ὡς ἄν τις ὑπολάβοι,
ἀλλὰ πολλῆς μὲν τέχνης, οὐκ ὀλίγης δὲ ἀγχινοίας, ἀκριβοῦς δέ τινος
ἐπιμελείας δεόμενον. οὐ γὰρ ἂν τοσοῦτα ἔβλαπτεν ἡ διαβολὴ, εἰ μὴ πι-
θανόν τινα τρόπον ἐγίγνετο· οὐδ᾿ ἂν κατίσχυσε τὴν πάντων ἰσχυροτέραν
ἀλήθειαν, εἰ μὴ πολὺ τὸ ἐπαγωγὸν, καὶ πιθανὸν, καὶ μυρία ἄλλα πα-
ρεσκεύαστο κατὰ τῶν ἀκουόντων. διαβάλλεται μὲν οὖν ὡς τὸ πολὺ μάλι-
στα ὁ τιμώμενος, καὶ διὰ τοῦτο τοῖς ὑπολειπομένοις αὐτοῦ ἐπίφθονος.
ἅπαντες γὰρ τούτῳ ἐπιτοξάζονται, καθάπερ τι κώλυμα καὶ ἐμπόδιον
προορώμενοι. καὶ ἕκαστος οἴεται πρῶτος αὐτὸς ἔσεσθαι, τὸν κορυφαῖον
ἐκεῖνον ἐκπολιορκήσας, καὶ τῆς φιλίας ἀποσκευασάμενος, οἷόν τι
καὶ ἐπὶ τοῖς γυμνικοῖς ἀγῶσι, ἐπὶ τῶν δρομέων γίγνεται. κἀκεῖ γὰρ ὁ μὲν
ἀγαθὸς δρομεὺς, τῆς ὕσπληγος εὐθὺς καταπεσούσης, μόνον τοῦ πρόσω
ἐφιέμενος, καὶ τὴν διάνοιαν ἀποτείνας πρὸς τὸ τέρμα, κἀν τοῖς ποσὶ
τὴν ἐλπίδα τῆς νίκης ἔχων, τὸν πλησίον οὐδὲν κακουργεῖ, οὐδέ τι τῶν
κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονεῖ· ὁ δὲ κακὸς ἐκεῖνος, καὶ ἄναθλος

ἀνταγωνιστής, ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα, ἐπὶ τὴν κακοτεχνίαν ἐτράπετο, καὶ τοῦτο μόνον ἐξ ἁπάντων σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχὼν, ἢ ἐμποδίσας, ἐπιστομιεῖ, ὡς εἰ τούτου διαμάρτοι, οὐκ ἄν ποτε νικῆσαι δυνάμενος. ὁμοίως δὲ τούτοις, κἀν ταῖς φιλίαις τῶν εὐδαιμόνων γίγνεται. ὁ γὰρ προέχων αὐτίκα ἐπιβουλεύεται, καὶ ἀφύλακτος, ἐν μέσῳ ληφθεὶς τῶν δυσμενῶν ἀνηρπάσθη· οἱ δὲ ἀγαπῶνται, καὶ φίλοι δοκοῦσιν, ἐξ ὧν ἄλλους βλάπτειν ἔδοξαν. τό, τε ἀξιόπιστον τῆς διαβολῆς οὐχ ὡς ἔτυχεν ἐπινοοῦσιν, ἀλλ' ἐν τούτῳ τὸ πᾶν αὐτοῖς ἐστιν ἔργον, δεδοικόσι τι προσάψαι ἀπῳδὸν, ἢ καὶ ἀλλότριον. ὡς γοῦν ἐπὶ πολὺ τὰ προσόντα τῷ διαβαλλομένῳ πρὸς τὸ χεῖρον μεταβάλλοντες, οὐκ ἀπιθάνους ποιοῦνται τὰς κατηγορίας· οἷον τὸν μὲν ἰατρὸν, διαβάλλουσιν ὡς φαρμακέα· τὸν πλούσιον δὲ ὡς τύραννον· τὸν τυραννικὸν δὲ, ὡς προδοτικόν. ἐνίοτε μέντοι, καὶ ὁ ἀκροώμενος αὐτὸς ὑποβάλλει τῆς διαβολῆς τὰς ἀφορμάς· καὶ πρὸς τὸν ἐκείνου τρόπον οἱ κακοήθεις αὐτοὶ ἁρμοζόμενοι, εὐστοχοῦσιν. ἢν μὲν γὰρ ζηλότυπον αὐτὸν ὄντα ἴδωσι, διένευσέ φησι τῇ γυναικί σου παρὰ τὸ δεῖπνον, καὶ ἀπιδὼν ἐς αὐτὴν, ἀπεστέναξε· καὶ ἡ Στρατονίκη πρὸς αὐτὸν, οὐ μάλα ἀηδῶς, καὶ ὅλως ἐρωτική. καί τινες καὶ μοιχικαὶ πρὸς αὐτὸν αἱ διαβολαί. ἢν δὲ ποιητικὸς ᾖ, καὶ ἐπὶ τούτῳ μέγα φρονῇ, μὰ Δί' ἐχλεύασέ σου Φιλόξενος τὰ ἔπη, καὶ διέσυρε, καὶ ἄμετρα εἶπεν αὐτὰ, καὶ κακοσύνθετα. πρὸς δὲ τὸν εὐσεβῆ, καὶ φιλόθεον, ἄθεος, καὶ ἀνόσιος ὁ φίλος διαβάλλεται, καὶ ὡς τὸ θεῖον παρωθούμενος, καὶ τὴν πρόνοιαν ἀρνούμενος. ὁ δὲ ἀκούσας, εὐθὺς μύωπι διὰ τοῦ ὠτὸς τυπεὶς, διακέκαυται, ὡς τὸ εἰκὸς, καὶ ἀπέστραπται τὸν φίλον, οὐ περιμείνας τὸν ἀκριβῆ ἔλεγχον. ὅλως γὰρ τὰ τοιαῦτα ἐπινοοῦσι, καὶ λέγουσιν, ἃ μάλιστα ἴσασιν ἐς ὀργὴν δυνάμενα προκαλέσασθαι τὸν ἀκροώμενον· καὶ ἔνθα τρωτός ἐστιν ἕκαστος, ἐπιστάμενοι, ἐπ' ἐκεῖνον τοξεύουσι, καὶ ἀκοντίζουσιν ἐς αὐτὸν· ὥστε τῇ παραυτίκα ὀργῇ τεταραγμένον, μηκέτι σχολὴν ἄγειν τῇ ἐξετάσει τῆς ἀληθείας, ἀλλὰ κἂν θέλῃ τις ἀπολογεῖσθαι, μὴ προσίεσθαι τῷ παραδόξῳ τῆς ἀκροάσεως, ὡς ἀληθεῖ προκατειλημμένον. ἀνυσιμώτατον γὰρ ὂν τὸ εἶδος τῆς διαβολῆς, τὸ ὑπεναντίον τῆς τοῦ ἀκούοντος ἐπιθυμίας, ὁπότε καὶ πα-

ῥαδίως πιστεύειν τῇ διαβολῇ.

παρὰ Πτολεμαίῳ τῷ Διονύσῳ ἐπικληθέντι, ἐγένετό τις, ὃς διέβαλε τὸν Πλατωνικὸν Δημήτριον, ὅτι ὕδωρ τε πίνει, καὶ μόνος τῶν ἄλλων γυναικεῖα οὐκ ἐνεδύσατο ἐν τοῖς Διονυσίοις· καὶ εἴγε μὴ κληθεὶς, ἕωθεν ἔπινέ τε πάντων ὁρώντων, καὶ λαβὼν ταραντινίδιον, ἐκυμβάλισέ τε, καὶ προσωρχήσατο, ἀπολώλει ἂν, ὡς οὐχ ἡδόμενος τῷ βίῳ τοῦ βασιλέως, ἀλλ' ἀντισοφιστὴς ὢν, καὶ ἀντίτεχνος τῆς Πτολεμαίου τρυφῆς. παρὰ δὲ Ἀλεξάνδρῳ, μεγίστη τότε αὖ ἁπασῶν διαβολὴ λέγοιτο, εἰ ἔλοιτό τις μὴ σέβειν, μηδὲ προσκυνεῖν τὸν Ἡφαιστίωνα. Ἐπεὶ γὰρ ἀπέθανεν Ἡφαιστίων ὑπὸ τοῦ ἔρωτος, Ἀλέξανδρος ἐβουλήθη προσθεῖναι καὶ τοῦτο τῇ λοιπῇ μεγαλουργίᾳ, καὶ θεὸν χειροτονῆσαι τὸν τετελευτηκότα. εὐθὺς οὖν νεώς τε ἀνέστησαν αἱ πόλεις, καὶ τεμένη καθιδρύετο, καὶ βωμοὶ, καὶ θυσίαι, καὶ ἑορταὶ τῷ καινῷ τούτῳ θεῷ ἐπετελοῦντο, καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν Ἡφαιστίων· εἰ δέ τις ἢ μειδιάσειε πρὸς τὰ γιγνόμενα, ἢ μὴ φαίνοιτο πάνυ εὐσεβῶν, θάνατος ἐπέκειτο ἡ ζημία. ὑπολαμβάνοντες δὲ οἱ κόλακες τὴν μειρακιώδη ταύτην τοῦ Ἀλεξάνδρου ἐπιθυμίαν, προσεξέκαιον εὐθὺς, καὶ ἀνεζωπύρουν, ὀνείρατα διηγούμενοι τοῦ Ἡφαιστίωνος, ἐπιφανείας τινὰς, καὶ ἰάματα προσάπτοντες αὐτῷ, καὶ μαντείας ἐπιφημίζοντες, καὶ τέλος, ἔθυον παρέδρῳ, καὶ ἀλεξικάκῳ θεῷ. ὁ δὲ Ἀλέξανδρος, ἥδετό τε ἀκούων, καὶ τὰ τελευταῖα, ἐπίστευε, καὶ μέγα ἐφρόνει, ὡσανεὶ οὐ θεοῦ παῖς ὢν μόνον, ἀλλὰ καὶ θεοὺς ποιεῖν δυνάμενος. πόσους τοίνυν οἰόμεθα τῶν Ἀλεξάνδρου φίλων παρὰ τὸν καιρὸν ἐκεῖνον ἀπολαῦσαι τῆς Ἡφαιστίωνος θειότητος, διαβληθέντας, ὡς οὐ τιμῶσι τὸν κοινὸν ἁπάντων θεὸν, καὶ διὰ τοῦτο ἐξελαθέντας, καὶ τῆς τοῦ βασιλέως εὐνοίας ἐκπεσόντας; τότε καὶ Ἀγαθοκλῆς ὁ Σάμιος, ταξιαρχῶν παρ' Ἀλεξάνδρῳ, καὶ τιμώμενος παρ' αὐτοῦ, μικροῦ δεῖν συγκαθείρχθη λέοντι, διαβληθεὶς, ὅτι δακρύσειε παριὼν τὸν Ἡφαιστίωνος τάφον· ἀλλ' ἐκείνῳ μὲν λέγεται βοηθῆσαι Περδίκκας, ἐπομοσάμενος κατὰ πάντων τῶν θεῶν, καὶ κατὰ Ἡφαιστίωνος, ὅτι δὴ κυνηγοῦντί οἱ, φανέντα ἐναργῆ τὸν θεὸν, ἐπισκῆψαι εἰπεῖν Ἀλεξάνδρῳ φείσασθαι Ἀγαθοκλέους. οὐ γὰρ ὡς ἀπιστοῦντα, οὐδὲ ὡς ἐπὶ νεκρῷ δακρῦσαι, ἀλλὰ τῆς πάλαι συνηθείας μνημονεύοντα. ἡ γοῦν κολακεία,

καὶ ἡ διαβολὴ, τότε μάλιστα χώραν ἔχει πρὸς τὸ Ἀλεξάνδρου πάθος συν-
τεθειμένη. Καθάπερ γὰρ ἐν πολιορκίᾳ, οὐκ ἐπὶ τὰ ὑψηλὰ, καὶ ἀπό-
κρημνα, καὶ ἀσφαλῆ τοῦ τείχους προσίασιν οἱ πολέμιοι, ἀλλ' ἐν ᾗ
ἀφύλακτόν τι μέρος, ἢ σαθρὸν αἴσθωνται, ἢ ταπεινὸν, ἐπὶ τοῦτο πά-
σῃ δυνάμει χωροῦσιν, ὡς ῥᾷστα παρεισδῦναι, καὶ ἑλεῖν δυνάμενοι,
οὕτω καὶ οἱ διαβάλλοντες, ὅ, τι ἂν ἀσθενὲς ἴδωσι τῆς ψυχῆς, καὶ ὑπόσα-
θρον, καὶ εὐεπίβατον, τούτῳ προσβάλλουσι, καὶ προσάγουσι τὰς μη-
χανάς· καὶ τέλος, ἐκπολιορκοῦσι, μηδενὸς ἀντιταττομένου, μηδὲ
τὴν ἔφοδον αἰσθομένου· εἶτ' ἐπειδὰν ἐντὸς ἅπαξ τῶν τειχῶν γένωνται, πυρ-
πολοῦσι πάντα, καὶ καίουσι, καὶ σφάττουσι, καὶ ἐξελαύνουσιν, οἷα εἰ-
κὸς ἁλισκομένης ψυχῆς, καὶ ἐξηνδραποδισμένης ἔργα εἶναι. μηχα-
νήματα δὲ αὐτοῖς κατὰ τοῦ ἀκούοντος, ἥ τε ἀπάτη, καὶ τὸ ψεῦδος, καὶ
ἡ ἐπιορκία, καὶ προσλιπάρησις, καὶ ἀναισχυντία, καὶ ἄλλα μυρία ῥᾳδι-
ουργήματα· ἡ δὲ μεγίστη πασῶν, ἡ κολακεία ἐστὶ, συγγενὴς, μᾶλλον δὲ
ἀδελφή τις οὖσα τῆς διαβολῆς. οὐδεὶς οὖν οὕτω γεννάδας ἐστὶ, καὶ ἀδα-
μάντινον τεῖχος τῆς ψυχῆς προβεβλημένος, ὃς οὐκ ἂν ἐνδοίη πρὸς
τὰς τῆς κολακείας διατριβὰς, καὶ ταῦτα ὑπορυττούσης, καὶ τοὺς θεμελί-
ους ὑφαιρούσης τῆς διαβολῆς. καὶ τὰ μὲν ἐκτὸς, ταῦτα· ἔνδοθεν δὲ πολ-
λαὶ προδοσίαι συναγωνίζονται, τὰς χεῖρας ὀρέγουσαι, καὶ τὰς πύλας ἀ-
ναπετῶσαι, καὶ πάντα τρόπον τῇ ἁλώσει τοῦ ἀκούοντος συμπροθυμού-
μεναι· πρῶτον μὲν τὸ φιλόκαινον, ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρ-
χει, καὶ τὸ ἁψίκορον· ἔπειτα δὲ τὸ πρὸς τὰ παράδοξα τῶν ἀκουσμάτων
ἐπόμενον. οὐ γὰρ οἶδ' ὅπως ἡδόμεθα πάντες λαθρηδὰ, καὶ πρὸς τὰς λα-
θρηδὰ λεγομένας, καὶ μεστὰς ὑπονοίας ἀκοάς. οἶδα γοῦν τινας, οὕτως
ἡδέως γαργαλιζομένους τὰ ὦτα ὑπὸ τῶν διαβολῶν, ὥσπερ τοὺς πτεροῖς
κνωμένους. ἐπειδὰν τοίνυν ὑπὸ τούτων ἁπάντων συμμαχούμενοι προσ-
πέσωσι, κατὰ κράτος αἱροῦσιν οἶμαι, καὶ οὐδὲ δυσχερὴς ἡ νίκη γίνοιτο, μη-
δενὸς ἀντιπαραταττομένου, μηδὲ ἀμυνομένου τὰς προσβολάς· ἀλλὰ
τοῦ μὲν ἀκούοντος ἑκόντος ἑαυτὸν ἐνδιδόντος, τοῦ διαβαλλομένου δὲ, τὴν
ἐπιβουλὴν ἀγνοοῦντος. ὥσπερ γὰρ ἐν νυκτὶ πόλεως ἁλούσης, καθεύδον-
τες οἱ διαβαλλόμενοι φονεύονται, καὶ τὸ πάντων οἴκτιστον, ὁ μὲν οὐκ εἰδὼς

τὰ γεγενημένα, προσέρχεται τῷ φίλῳ φαιδρός, ἅτε μηδὲν φαῦλον ἑαυτῷ συνεπιστάμενος, καὶ τὰ συνήθη λέγει, καὶ ποιεῖ παντὶ τρόπῳ ὁ ἄθλιος ἐνηδρευμένος, ὁ δέ, ἢν μὲν ἔχῃ τι γενναῖον, καὶ ἐλεύθερον, καὶ παρρησιαστικὸν εὐθὺς ἐξέρρηξε τὴν ὀργήν, καὶ τὸν θυμὸν ἐξέχεε· καὶ τέλος τὴν ἀπολογίαν προσμαθόμενος ἔγνω, μάτην κατὰ τοῦ φίλου παρωξυμμένος, ἢν δὲ ἀγεννέστερος, καὶ ταπεινότερος, προσίεται μὲν καὶ προσμειδιᾷ τοῖς χείλεσιν ἄκροις, μισεῖ δέ, καὶ λάθρα τοὺς ὀδόντας διαπρίει, καὶ ὡς ὁ ποιητής φησι, βυσσοδομεύει τὴν ὀργήν· οὗ δὴ ἐγὼ οὐδὲν οἶμαι ἀδικώτερον, οὐδὲ δουλοπρεπέστερον, ἐνδακόντα τὸ χεῖλος, ὑποτρέφειν τὴν χολήν, καὶ τὸ μῖσος ἐν αὐτῷ κατάκλειστον αὔξειν, ἕτερα μὲν κεύθοντα ἐνὶ φρεσίν, ἄλλα δὲ λέγοντα, καὶ ὑποκρινόμενον ἱλαρῷ καὶ κωμικῷ προσώπῳ, μάλα περιπαθῆ τινα καὶ γέμουσαν τραγῳδίαν. μάλιστα δὲ τοῦτο πάσχουσιν, ἐπειδὰν πάλαι φίλος ὁ ἐνδιαβάλλων δοκῶν εἶναι τῷ ἐνδιαβαλλομένῳ ποιῆται ὁμοίως. τότε γὰρ οὐκέτι φωνὴν ἀκούειν ἔτι θέλουσι τῶν διαβαλλομένων, ἢ τῶν ἀπολογουμένων, τὸ ἀξιόπιστον τῆς κατηγορίας ἐκ τῆς πάλαι δοκούσης φιλίας προειληφότες· οὐδὲ τοῦτο λογιζόμενοι, ὅτι πολλαὶ πολλάκις ἐν τοῖς φιλτάτοις μίσους παρεμπίπτουσι αἰτίαι, τοὺς ἄλλους λανθάνουσαι· καὶ ἐνίοτε οἷς αὐτός τις ἔνοχός ἐστι, ταῦτα φθάσας κατηγόρησε τοῦ πλησίον, ἐκφυγεῖν οὕτω πειρώμενος τὴν διαβολήν· καὶ ὅλως, ἐχθρὸν μὲν οὐδεὶς ἂν τολμήσειε διαβάλλειν. ἄπιστος γὰρ αὐτόθι ἡ κατηγορία, πρόδηλον ἔχουσα τὴν αἰτίαν. τοῖς δοκοῦσι δὲ μάλιστα φίλοις ἐπιχειροῦσι τὴν πρὸς τοὺς ἀκούοντας εὔνοιαν ἐμφῆναι προαιρούμενοι, ὅτι ἐπὶ τῷ ἐκείνων συμφέροντι οὐδὲ τῶν οἰκειοτάτων ἀπέχονται. εἰσὶ δέ τινες, οἳ κἂν μάθωσιν ὕστερον ἀδίκως διαβεβλημένους παρ' αὐτοῖς τοὺς φίλους, ὅμως ὑπ' αἰσχύνης ὧν ἐπίστευσαν, οὐδέ τι προσίενται, οὐδὲ τολμῶσι προσβλέπειν αὐτούς, ὥσπερ ἠδικημένοι, ὅτι μηδὲν ἀδικοῦντας ἐπέγνωσαν. τοιγαροῦν πολλῶν κακῶν ὁ βίος ἐπλήσθη ὑπὸ τῶν οὕτω ῥαδίως καὶ ἀνεξετάστως πεπιστευμένων διαβολῶν. ἡ μὲν Ἄντεια,

τεθναίης, φησίν, ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
ὅς μ' ἔθελε φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ,

αὐτὴ προτέρα ἐπιχειρήσασα, καὶ ἀποστραφεῖσα· καὶ μικροῦ ὁ νεανίας ἐν τῇ πρὸς Χίμαιραν συμπλοκῇ διεφθάρη, ἐπιτίμιον σωφροσύνης ὑποσχὼν, καὶ τῆς πρὸς τὸν ξένον αἰδοῦς, ὑπὸ μάχλου γυναικὸς ἐπιβεβουλευμένος. ἡ δὲ Φαίδρα, κἀκείνη τὰ ὅμοια κατειποῦσα τοῦ προγόνου, ἐπάρατον ἐποίησε τὸν Ἱππόλυτον γενέσθαι ὑπὸ τοῦ πατρὸς, οὐδὲν ὦ θεοὶ, οὐδὲν ἀνόσιον εἰργασμένον. ναὶ φησί τις· ἀλλ' ἀξιόπιστός ἐστιν ἐνίοτε ὁ διαβάλλων ἀνὴρ, τά τε ἄλλα δίκαιος, καὶ συνετὸς εἶναι δοκῶν. καὶ ἐχρῆν προσέχειν αὐτῷ, ἅτε μηδὲν ἂν πιστῷ κακουργήσαντι. ἆρ' οὖν τοῦ Ἀριστείδου ἐστί τις δικαιότερος; ἀλλ' ὅμως κἀκεῖνος συνέστη ἐπὶ τὸν Θεμιστοκλέα, καὶ συμπαρώξυνε τὸν δῆμον, ἧς φασιν ἐκεῖνος τῆς πολιτικῆς φιλοτιμίας ὑποκεκνισμένος. δίκαιος μὲν γὰρ ὡς πρὸς τοὺς ἄλλους Ἀριστείδης, ἄνθρωπος δὲ καὶ αὐτὸς ἦν, καὶ χολὴν εἶχε, καὶ ἠγάπα τινὰς, καὶ ἐμίσει. καὶ εἴ γε ἀληθής ἐστιν ὁ περὶ τοῦ Παλαμήδους λόγος, ὁ συνετώτατος τῶν Ἀχαιῶν, κἂν τοῖς ἄλλοις ἄριστος, τὴν ἐπιβουλὴν καὶ ἐνέδραν ὑπὸ φθόνου φαίνεται συντεθεικὼς κατ' ἀνδρὸς ὁμαίμου, καὶ φίλου, καὶ ἐπὶ τὸν αὐτὸν κίνδυνον ἐκπεπλευκότος. οὕτως ἔμφυτον ἅπασιν ἀνθρώποις ἡ περὶ τὰ τοιαῦτα ἁμαρτία. τί γὰρ ἄν τις, ἢ τὸν Σωκράτην λέγοι, τὸν ἀδίκως πρὸς τοὺς Ἀθηναίους διαβεβλημένον ὡς ἀσεβῆ, καὶ ἐπίβουλον; ἢ τὸν Θεμιστοκλέα, ἢ τὸν Μιλτιάδην, τοὺς μετὰ τηλικαύτας νίκας, ἐπὶ προδοσίᾳ τῆς Ἑλλάδος ὑπόπτους γενομένους; μυρία γὰρ τὰ παραδείγματα, καὶ σχεδὸν τὰ πλεῖστα ἤδη γνώριμα. τί οὖν χρὴ ποιεῖν τόν γε νοῦν ἔχοντα, ἢ ἀρετῆς, ἢ ἀληθείας ἀμφισβητοῦντα; ὅπερ οἶμαι καὶ Ὅμηρος ἐν τῷ περὶ Σειρήνων μύθῳ ᾐνίξατο, παραπλεῖν κελεύσας τὰς ὀλεθρίους ταύτας τῶν ἀκουσμάτων ἡδονὰς, καὶ ἀποφράττειν τὰ ὦτα, καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν τοῖς πάθει προειλημμένοις, ἀλλ' ἐπιστήσαντα ἀκριβῆ θυρωρὸν τὸν λογισμὸν ἅπασι τοῖς λεγομένοις· τὰ μὲν ἄξια, προσίεσθαι, καὶ παραβάλλεσθαι, τὰ φαῦλα δὲ ἀποκλείειν καὶ ἀπωθεῖν. καὶ γὰρ ἂν εἴη γελοῖον, τῆς μὲν οἰκίας θυρωροὺς καθιστάναι, τὰ ὦτα δὲ, καὶ τὴν διάνοιαν ἀνεῳγμένα ἐᾶν. ἐπειδὰν τοίνυν τοιαῦτα προσίῃ τις λέγων, αὐτὸ ἐφ' αὐτοῦ χρὴ τὸ πρᾶγμα ἐξετάζειν,

τάξιν, μήτε ἡλικίαν τοῦ λέγοντος ὁρῶντα, μήτε τὸν ἄλλον βίον, μήτε τὴν ἐν τοῖς λόγοις ἀγχίνοιαν. ὅσῳ γάρ τις πιθανώτερος, τοσούτῳ ἐπιμελεστέρας δεῖται τῆς ἐξετάσεως. οὐ δεῖ τοίνυν πιστεύειν ἀλλοτρίᾳ κρίσει μᾶλλον δὲ μίσει τοῦ κατηγοροῦντος, ἀλλ' ἑαυτῷ τὴν ἐξέτασιν φυλακτέον, τῆς ἀληθείας ἀποδόντα καὶ τῷ διαβάλλοντι τὸν φθόνον, καὶ ἐν φανερῷ ποιησάμενον τὸν ἔλεγχον τῆς ἑκατέρου διανοίας, καὶ μισεῖν οὕτω καὶ ἀγαπᾶν τὸν δεδοκιμασμένον. πρὶν δὲ τοῦτο ποιῆσαι ἐκ τῆς πρώτης διαβολῆς νενικημένον, Ἡράκλεις, ὡς μειρακιῶδες, καὶ ταπεινὸν, καὶ πάντων οὐχ ἥκιστα ἄδικον. ἀλλὰ τούτων ἁπάντων αἴτιον, ὅπερ ἐν ἀρχῇ ἔφημεν, ἡ ἄγνοια, καὶ τὸ ἐν σκότῳ που εἶναι τὸν ἑκάστου τρόπον. ὡς εἴγε θεῶν τις ἀποκαλύψειεν ἡμῶν τοὺς βίους, οἴχοιτο ἂν φεύγουσα ἐς τὸ βάραθρον ἡ διαβολὴ, χώραν οὐκ ἔχουσα, ὡς ἂν πεφωτισμένων τῶν πραγμάτων ὑπὸ τῆς ἀληθείας.

# LOCVS EX POLYMNIA HERODOTI, in oratione Artabani Xerxem deterrentis à bello, quod aduersus Græcos moliebatur: ad quem locum, quin Lucianus in hoc libello respexerit, dubitari vix potest.

Διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων, ἀδικέει, οὐ παρεόντων κατηγορέων· ὁ δὲ ἀδικέει ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου, καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι.

# EX DIODORI SICVLI LIBRO XV.

## VBI PHILOXENI MEMINIT, ad eam historiam respicit, quæ est apud Diodorum Siculum lib. xv.

Κατὰ δὲ τὴν Σικελίαν Διονύσιος ὁ τῶν Συρακουσίων τύραννος, ἀπολελυμένος τῶν πρὸς Καρχηδονίους πολέμων, πολλὴν εἰρήνην καὶ σχολὴν εἶχε. διὸ καὶ ποιήματα γράφειν ὑπεστήσατο μετὰ πολλῆς σπουδῆς, καὶ τοὺς ἐν τούτοις δόξαν ἔχοντας μετεπέμπετο, καὶ προτιμῶν αὐτοὺς συνδιέτριβε, καὶ τῶν ποιημάτων ἐπιστάτας καὶ διορθωτὰς εἶχεν. ὑπὸ δὲ τούτων διὰ τὰς εὐεργεσίας τοῖς πρὸς χάριν λόγοις μετεωριζόμενος, ἐκαυχᾶτο πολὺ μᾶλλον ἐπὶ τοῖς ποιήμασιν ἢ τοῖς ἐν πολέμῳ κατορθώμασι. τῶν δὲ συνόντων αὐτῷ ποιητῶν Φιλόξενος ὁ διθυραμβοποιός, μέγιστον ἔχων ἀξίωμα κατὰ τὴν κατασκευὴν τοῦ ἰδίου ποιήματος, κατὰ τὸ συμπόσιον ἀναγνωσθέντων τῶν τοῦ τυράννου ποιημάτων μοχθηρῶν ὄντων, ἐπερωτήθη περὶ τῶν ποιημάτων τίνα κρίσιν ἔχοι. ἀποκριναμένου δ' αὐτοῦ παρρησιωδέστερον, ὁ μὲν τύραννος προσκόψας τοῖς ῥηθεῖσι καὶ καταμεμψάμενος, ὅτι διὰ φθόνον ἐβλασφήμησε, προσέταξε τοῖς ὑπηρέταις παραχρῆμα ἀπάγειν εἰς τὰς λατομίας. τῇ δ' ὑστεραίᾳ τῶν φίλων παρακαλούντων συγγνώμην δοῦναι τῷ Φιλοξένῳ, διαλλαγεὶς αὐτῷ πάλιν τοὺς αὐτοὺς παρέλαβεν ἐπὶ τὸ συμπόσιον. προβαίνοντος τοῦ πότου, καὶ πάλιν τοῦ Διονυσίου καυχωμένου περὶ τῶν ἰδίων ποιημάτων, καί τινας στίχους τῶν δοκούντων ἐπιτετεῦχθαι προενεγκαμένου, καὶ ἐπερωτῶντος, ποῖά τινα σοὶ φαίνεται τὰ ποιήματα ὑπάρχειν; ἄλλο μὲν οὐδὲν εἶπε, τοὺς δ' ὑπηρέτας τοῦ Διονυσίου προσκαλεσάμενος, ἐκέλευσεν αὑτὸν ἀπαγαγεῖν εἰς τὰς λατομίας. τότε μὲν οὖν διὰ τὴν εὐτραπελίαν τῶν λόγων μειδιάσας ὁ Διονύσιος, ἤνεγκε τὴν παρρησίαν, τοῦ γέλωτος τὴν μέμψιν ἀμβλύνοντος. μετ' ὀλίγον δὲ τῶν γνωρίμων ἅμα καὶ τοῦ Διονυσίου παραιτουμένων τὴν ἄκαιρον παρρησίαν, ὁ Φιλόξενος ἐπηγγείλατο παράδοξόν τινα ἐπαγγελίαν. ἔφη γὰρ διὰ τῆς ἀποκρίσεως τηρήσειν ἅμα καὶ τὴν ἀλήθειαν καὶ τὴν εὐδόκησιν τοῦ Διονυσίου· καὶ οὐ διεψεύσθη. τοῦ γὰρ τυράννου προενεγκαμένου τινὰς στίχους ἔχοντας



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0028-5

ἔχοντας ἐλεεινὰ πάθη, καὶ ἐρωτήσαντος ποῖά τινα φαίνεται τὰ ποιήματα; εἶπεν, οἰκτρά. διὰ τῆς ἀμφιβολίας ἀμφότερα τηρήσας. ὁ μὲν γὰρ Διονύσιος ἐδέξατο τὰ οἰκτρὰ εἶναι ἐλεεινὰ καὶ συμπαθείας πλήρη, τὰ δὲ τοιαῦτα εἶναι ποιητῶν ἀγαθῶν ἐπιτεύγματα· ὅθεν ὡς ἐπῃνεκότα αὐτὸν ἀπεδέχετο. οἱ δ' ἄλλοι, τὴν ἀληθινὴν διάνοιαν ἐκδεξάμενοι, πᾶν τὸ οἰκτρὸν ἀποτεύγματος φύσιν εἰρῆσθαι διελάμβανον.

## QVAM MAGNIFICVM FVNVS fecerit Hephæstioni Alexander Magnus, & vt eum in deos retulerit, narrat idem Diodorus libro XVII.

Ἀπολύσας δὲ τὰς πρεσβείας, περὶ τὴν ταφὴν ἐγίνετο τοῦ Ἡφαιστίωνος. τοσαύτην δὲ σπουδὴν ἐποιήσατο πρὸς τὴν τῆς ἐκφορᾶς ἐπιμέλειαν, ὥστε μὴ μόνον τὰς προγεγενημένας παρ' ἀνθρώποις ταφὰς ὑπερβαλέσθαι, ἀλλὰ καὶ τοῖς ἐσομένοις μηδεμίαν ὑπέρθεσιν καταλιπεῖν. καὶ γὰρ ἠγάπησεν αὐτὸν τῶν ἐν στοργῇ φίλων δοξαζομένων, καὶ μετὰ τὴν τελευτὴν ἐτίμησεν αὐτὸν ἀνυπερβλήτως. ζῶντα μὲν γὰρ προετίμησε πάντων τῶν φίλων, καίπερ Κρατεροῦ φιλίαν ἔχοντος ἐνάμιλλον. ἐπεὶ γάρ τις τῶν ἑταίρων εἶπε μηδὲν καταδεέστερον Ἡφαιστίωνος τὸν Κρατερὸν στέργεσθαι, ἐπεφθέγξατο, Κρατερὸν μὲν γὰρ εἶναι φιλοβασιλέα, Ἡφαιστίωνα δὲ φιλαλέξανδρον. τῆς δὲ Δαρείου μητρὸς κατὰ τὴν πρώτην ἔντευξιν διὰ τὴν ἄγνοιαν προσκυνούσης τὸν Ἡφαιστίωνα, ὡς ὄντα βασιλέα, καὶ μετὰ τὴν ἐπίγνωσιν διατρεπομένης, εἶπεν ὁ βασιλεύς, μηδὲν φροντίσῃς, ὦ μῆτερ· καὶ γὰρ οὗτος Ἀλέξανδρος. καθόλου γὰρ ὁ Ἡφαιστίων τοσαύτης ἐξουσίας καὶ φιλικῆς ἐκοινώνει παρρησίας, ὡς τῆς Ὀλυμπιάδος ἀλλοτρίως ἐχούσης πρὸς αὐτὸν διὰ τὸν φθόνον, καὶ κατὰ τὰς ἐπιστολὰς ἐπιτιμώσης αὐτῷ σκληρότερον καὶ ἀπειλούσης, τά τε ἄλλα γράψαι πρὸς αὐτὴν ἐπιπληκτικῶς, καὶ κατὰ τὴν ἐπιστολὴν ἐπὶ τελευτῆς θεῖναι ταῦτα. Καὶ πρὸς ἡμᾶς παύου διαβαλλομένη, καὶ μὴ χαλέπαινε, μηδὲ ἀπείλει· εἰ δὲ μή, μετρίως ἡμῖν μελήσει. οἶδας γὰρ ὅτι Ἀλέξανδρος

# EX DIODORI SICVLI LIBRO XVII.

κρείττων ἀπάντων. Ὁ δ' οὖν βασιλεὺς τὰ πρὸς τὴν ἐκφορὰν παρασκευαζόμενος, ταῖς μὲν πλησίον πόλεσι προσέταξε κατὰ δύναμιν συμβάλλεσθαι πρὸς τὸν τῆς ἐκφορᾶς κόσμον. πᾶσι δὲ τοῖς κατὰ τὴν Ἀσίαν οἰκοῦσι προσέταξε τὸ παρὰ τοῖς Πέρσαις ἱερὸν πῦρ καλούμενον ἐπιμελῶς σβέσαι, μέχρι ἂν τελεύσῃ τὴν ἐκφοράν. τοῦτο δὲ εἰώθασιν οἱ Πέρσαι ποιεῖν κατὰ τὰς τῶν βασιλέων τελευτάς. τὸ δὲ πλῆθος, χαλεπὸν οἰωνὸν ἐτίθετο τὸ πρόσταγμα, καὶ τὸ θεῖον ὑπελάμβανον προσημαίνειν τὸν τοῦ βασιλέως θάνατον. ἐγένετο δὲ καὶ ἄλλα σημεῖα παράδοξα, προδηλοῦντα τὴν Ἀλεξάνδρου τελευτήν, περὶ ὧν μικρὸν ὕστερον ἐροῦμεν, ὅταν τὸν περὶ τῆς ἐκφορᾶς λόγον ἀποδῶμεν. τῶν γὰρ ἡγεμόνων καὶ φίλων ἕκαστος στοχαζόμενος τῆς τοῦ βασιλέως ἀρεσκείας, κατεσκεύαζεν εἴδωλα δι' ἐλέφαντος καὶ χρυσοῦ, καὶ τῶν ἄλλων τῶν θαυμαζομένων παρ' ἀνθρώποις. αὐτὸς δὲ τοὺς ἀρχιτέκτονας ἀθροίσας, καὶ λεπτουργῶν πλῆθος, τοῦ μὲν τείχους καθεῖλεν ἐπὶ δέκα σταδίους, τὴν δ' ὀπτὴν πλίνθον ἀναλεξάμενος, καὶ τὸν δεξόμενον τὴν πυρὰν τόπον ὁμαλὸν κατασκευάσας, ᾠκοδόμησε τετράπλευρον πυράν, σταδιαίας οὔσης ἑκάστης πλευρᾶς. εἰς τριάκοντα δὲ δόμους διελόμενος τὸν τόπον, καὶ καταστρώσας τὰς ὀροφὰς φοινίκων στελέχεσι, τετράγωνον ἐποίησε πᾶν τὸν κατασκεύασμα. μετὰ δὲ ταῦτα περιετίθει τῷ περιβόλῳ παντὶ κόσμον. οὗ τὴν μὲν κρηπῖδα χρυσαῖ πεντηρικαὶ πρῷραι συνεπλήρουν, οὖσαι τὸν ἀριθμὸν διακόσιαι τεσσαράκοντα, ἐπὶ δὲ τῶν ἐπωτίδων ἔχουσαι δύο μὲν τοξότας εἰς γόνυ κεκαθικότας τετραπήχεις, ἀνδριάντας δὲ πενταπήχεις καθωπλισμένους, τοὺς δὲ μεταξὺ τόπους φοινικίδες ἀνεπλήρουν πιληταί. ὑπεράνω δὲ τούτων τὴν δευτέραν ἐπανεῖχον χώραν δᾷδες πεντεκαιδεκαπήχεις, κατὰ μὲν τὴν λαβὴν ἔχουσαι χρυσοῦς στεφάνους, κατὰ δὲ τὴν ἐκφλόγωσιν ἀετοὺς διαπεπτακότας τὰς πτέρυγας καὶ κάτω νεύοντας, παρὰ δὲ τὰς βάσεις δράκοντας ἀφορῶντας τοὺς ἀετούς. κατὰ δὲ τὴν τρίτην περιφορὰν κατεσκεύαστο ζώων παντοδαπῶν πλῆθος κυνηγουμένων. ἔπειτα ἡ μὲν τετάρτη χώρα κενταυρομαχίαν χρυσῆν εἶχεν, ἡ δὲ πέμπτη λέοντας καὶ ταύρους ἐναλλὰξ χρυσοῦς. τὸ δ' ἀνώτερον μέρος ἐπεπλήρωτο Μακεδονικῶν καὶ βαρβαρικῶν ὅπλων.

ὅπλων, ὧν μὲν τὰς ἀνδραγαθίας, ὧν δὲ τὰς ἥττας σημαινόντων. ἐπὶ πᾶσι δὲ ἐφεστήκεσαν Σειρῆνες διάκοιλοι, καὶ δυνάμεναι λεληθότως δέξασθαι τοὺς ἐν αὐταῖς ᾄδοντας ἐπικήδειον θρῆνον τῷ τετελευτηκότι. τὸ δ' ὕψος ἦν ὅλου τοῦ κατασκευάσματος πήχεις πλείους τῶν ἑκατὸν τριάκοντα. καθόλου δὲ τῶν τε ἡγεμόνων καὶ τῶν στρατιωτῶν ἁπάντων καὶ τῶν πρέσβεων, ἔτι δὲ τῶν ἐγχωρίων φιλοτιμηθέντων εἰς τὸν τῆς ἐκφορᾶς κόσμον. φασὶ τὸ πλῆθος τῶν ἀναλωθέντων χρημάτων γεγονέναι πλείω τῶν μυρίων καὶ δισχιλίων ταλάντων. ἀκολούθως δὲ ταύτῃ τῇ μεγαλοπρεπείᾳ καὶ τῶν ἄλλων γινομένων κατὰ τὴν ἐκφορὰν τιμῶν, τὸ τελευταῖον προσέταξεν ἅπασι θύειν Ἡφαιστίωνι θεῷ παρέδρῳ. καὶ γὰρ κατὰ τύχην ἧκεν εἷς τῶν φίλων Φίλιππος, χρησμὸν φέρων παρ' Ἄμμωνος, θύειν Ἡφαιστίωνι θεῷ. διόπερ γινόμενος περιχαρὴς ἐπὶ τῷ καὶ τὸν θεὸν κεκυρωκέναι τὴν αὐτοῦ γνώμην, πρῶτος τὴν θυσίαν ἐπετέλεσε, καὶ τὸ πλῆθος λαμπρῶς ὑπεδέξατο, μύρια τὸν ἀριθμὸν θύσας ἱερεῖα παντοδαπά.

# PLVTARCHVS IN LIBELLO, quemadmodum amicus ab adulatore discernendus sit. Adulatores esse architectos calumniarum.

Οὐχ ἥκιστα δ' ἄν τις αὐτὸν ἐν τῇ πρὸς ἄλλους φίλους διαθέσει καταμάθοι πολὺ τοῦ φίλου διαφέροντα. τῷ μὲν γὰρ ἥδιστόν ἐστι μετὰ πολλῶν φιλεῖν καὶ φιλεῖσθαι, καὶ τοῦτο πράττων ἀεὶ διατελεῖ περὶ τὸν φίλον, ὅπως πολύφιλος καὶ πολυτίμητος ἔσται· κοινὰ γὰρ τὰ φίλων ἡγούμενος, οὐδὲν οὕτως οἴεται δεῖν κοινὸν, ὡς τοὺς φίλους ὑπάρχειν. ὁ δὲ ψευδὴς καὶ νόθος καὶ ὑπόχαλκος, ἅτε δὴ μάλιστα γινώσκων ἑαυτὸν ἀδικοῦντα τὴν φιλίαν, ὥσπερ νόμισμα παράσημον ὑπ' αὐτοῦ γινομένην, ἔστι μὲν καὶ φύσει φθονερὸς, ἀλλὰ τῷ φθόνῳ χρῆται πρὸς τοὺς ὁμοίους, διαμιλλώμενος ὑπερβάλλεσθαι βωμολοχίᾳ καὶ σπερμολογίᾳ· τὸν δὲ κρείττονα τρέμει καὶ δέδοικεν, οὐ μὰ Δία παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων.

ἰχνεύων, ἀλλὰ παρὰ χρυσὸν ἐφθόν, ὥς φησι Σιμωνίδης ἀκήρατον, οὐδὲ μόλιβδον ἔχων. Ὅταν οὖν ἐλαφρὸς ὤν, καὶ ἐπίκτητος καὶ ἀπατηλὸς ἐγγύθεν ἀντεξετάζηται πρὸς ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον, οὐκ ἀναφέρων, ἀλλ᾽ ἐξελεγχόμενος, ποιεῖ τῷ ζωγραφήσαντι τοὺς ἀλεκτρυόνας ἀθλίως. ἐκεῖνός τε γὰρ ἐκέλευσε τὸν παῖδα τοὺς ἀληθινοὺς ἀλεκτρυόνας ἀποσοβεῖν ἀπωτάτω τοῦ πίνακος· οὗτος δὲ τοὺς ἀληθινοὺς ἀποσοβεῖ φίλους, καὶ οὐκ ἐᾷ πλησιάζειν· ἂν δὲ μὴ δύνηται, φανερῶς μὲν ὑποπτήσσει, καὶ περιέπει καὶ τέθηπεν ὡς ἀμείνονας, λάθρα δὲ ὑφίησί τινας καὶ ὑποσπείρει διαβολάς· κρυφίου δὲ λόγου κινήσαντος ἕλκος, κἂν μὴ παντελῶς εὐθὺς ἐξεργάσηται, τὸ τοῦ Μηδίου φυλάττει μεμνημένος. ἦν δὲ ὁ Μήδιος τοῦ περὶ τὸν Ἀλέξανδρον χοροῦ τῶν κολάκων, οἷον ἔξαρχος καὶ σοφιστὴς κορυφαῖος, ἐπὶ τοὺς ἀρίστους συντεταγμένος. ἐκέλευεν οὖν θαρροῦντας ἅπτεσθαι καὶ δάκνειν ταῖς διαβολαῖς διδάσκων, ὅτι κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος, ἡ οὐλὴ μένει τῆς διαβολῆς. ταύταις μέντοι ταῖς οὐλαῖς, μᾶλλον δὲ γαγγραίναις καὶ καρκινώμασι διαβρωθεὶς Ἀλέξανδρος, ἀπώλεσε καὶ Καλλισθένη, καὶ Παρμενίωνα καὶ Φιλώταν· Ἄγνωσι δὲ καὶ Βαγώαις καὶ Ἀγησίαις καὶ Δημητρίοις ἀφειδῶς ἀνέδωκεν ἑαυτὸν ὑποσκελίζεσθαι, προσκυνούμενον, καὶ καταστολιζόμενον, καὶ ἀναπλαττόμενον ὑπ᾽ αὐτῶν ὥσπερ ἄγαλμα βαρβαρικόν. Οὕτως μεγάλην ἔχει τὸ πρὸς χάριν δύναμιν, καὶ μεγίστην, ὡς ἔοικεν, ἐν τοῖς μεγίστοις εἶναι δοκοῦσι. τὸ γὰρ οἴεσθαι τὰ κάλλιστα μετὰ τοῦ βούλεσθαι, πίστιν ἅμα τῷ κόλακι καὶ θράσος δίδωσι. τῶν μὲν γὰρ τόπων τὰ ὑψηλά, δυσπρόσοδα, καὶ δυσέφικτα γίνεται τοῖς ἐπιβουλεύουσι· τὸ δ᾽ ἐν ψυχῇ νοῦν οὐκ ἐχούσῃ δι᾽ εὐτυχίαν ἢ δι᾽ εὐφυΐαν ὕψος καὶ φρόνημα, τοῖς μικροῖς καὶ ταπεινοῖς μάλιστα βάσιμόν ἐστι.

ΤΕΛΟΣ.

155592

X220415[?]

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0033-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0034-8

4.

# ΛΟΥΚΙΑΝΟΥ

περὶ τοῦ μὴ ῥαδίως πιστεύειν τῇ διαβολῇ.



HELMAESTADII

Ex officina typographica Iacobi Lucij,

Anno ↀ Ↄ XCIV.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-231697-p0035-4